**Δευτέρα 25 Μαρτίου. Δευτέρα τῆς β' ἑβδομάδος τῶν Νηστειῶν.**

**Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.**

**Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν**

## Ἐν τῷ μικρῷ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, εἰς τό· *Κύριε ἐκέκραξα*…ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' προσόμοια τῆς ἑορτῆς· *Κατοικτειρήσας τὸ ποίημα ὁ Πλάστης…Ξένος ἐστί σου ὁ λόγος…Εἰς Ναζαρὲτ νῦν τὴν Πόλιν ἐπιφθάσας*…δευτεροῦντες τὸ α'. Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Τῷ ἕκτῳ Μηνί,*…Τό· *Φῶς ἱλαρόν*…τὸ Προκείμενον τῆς ἡμέρας μετὰ τῶν στίχων αὐτοῦ· *Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον*…Εἰς τὸν στίχον ψάλλομεν τὰ ἀποστιχα προσόμοια τῆς ἑορτῆς· *Ἄρχων τῶν ἄνῳ δυνάμεων…Τὶ σου τὸ εἶδος τὸ πύρινον…Πνεῦμα Θεοῦ τὸ πανάγιον*…μετά των στίχων αυτών. Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Τῷ ἕκτῳ Μηνὶ*…Τό· *Νῦν Ἀπολύεις*…Τὸ τρισάγιον καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον*…ἅπαξ. Ἀπόλυσις.

## Ἐν τῷ ἀποδείπνῳ

Περὶ δὲ ὥραν ιβ' τῆς ἡμέρας, τὸ μικρὸν ἀποδεῖπνον ἄνευ κανόνος καὶ μετανοιῶν ἐν τῷ νάρθηκι. Εἰς δὲ τὸ τρισάγιον αὐτοῦ, τὸ κοντάκιον τῆς ἑορτῆς· *Τῇ Ὑπερμάχῳ*…ἐν τέλει δὲ οἱ οἶκοι τῆς Θεοτόκου οὐ λέγονται. Καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ ἀποδείπνου, εἰσερχόμενοι ἐν τῷ ναῷ ἐπισυνάπτομεν τὸν μέγαν ἑσπερινὸν τῆς ἑορτῆς καὶ τὴν ἀγρυπνίαν, ὡς ἀκολούθως.

## Ἐν τῷ μεγάλῳ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, στιχολογοῦμεν τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τό· *Μακάριος ἀνήρ*…ὅλον. Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*… ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας· *Δεῦτε ἐκκαθάρωμεν*

*ἑαυτοὺς*…δευτεροῦντες αὐτό…εἶτα τὰ γ' προσόμοια τοῦ Τριῳδίου· *Δίδου μοι κατάνυξιν…Μώσης ὁ θεσπέσιος…Τὰ τῶν Νηστειῶν νῦν δισέβδομα*…καὶ τῆς ἑορτῆς προσόμοια γ'· *Βουλὴν προαιώνιον…Φαίνῃ μὴ ὡς ἄνθρωπος… Θεὸς ὅπου βούλεται*…ποιοῦντες αὐτὰ ε'. Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Ἀπεστάλη ἐξ οὐρανοῦ*…Εἴσοδος. Τὸ· *Φῶς ἱλαρόν*…τὸ μέγα προκείμενον τῆς Κυριακῆς· *Ἔδωκας κληρονομίαν*…μετὰ τῶν στίχων αὐτοῦ. Εἶτα τὰ γ' ἀναγνώσματα τῆς ἑορτῆς· **α'.** *Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος*…(Γενέσεως τὸ Ἀνάγνωσμα. Κεφ. κη' 10), **β'.** *Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης*…(Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα. Κεφ. μγ' 27), γ'**.** *Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον*…(Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφ. θ' 1). Εἰς τὴν λιτήν, ψάλλομεν τὰ γ' ἰδιόμελα τῆς ἑορτῆς· *Τῷ ἕκτῳ Μηνί…Ἐν τῷ Μηνὶ τὸ ἕκτῳ…Ἀπεστάλη Ἄγγελος Γαβριήλ*…Δόξα…Καὶ νῦν...τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Εὐαγγελίζεται ὁ Γαβριὴλ*...Εἰς τὸν στίχον, ψάλλομεν τὰ ἰδιόμελα τῆς ἑορτῆς· *Τῷ ἕκτῳ Μηνί…Γλῶσσαν ἣν οὐκ ἔγνω… Ἰδοὺ ἡ ἀνάκλησις*…Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Σήμερον χαρὰς Εὐαγγέλια*…Τό· *Νῦν ἀπολύεις*…καὶ τὸ τρισάγιον. Ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον*…ἐκ γ'. Ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἡ ἀνάγνωσις.

## Ἐν τῷ ὄρθρῳ

Εἰς τό· *Θεὸς Κύριος*…τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον*…ἐκ γ'. Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον* γ', Δόξα, καὶ νῦν…Καὶ ἀναγινώσκει τὸ Δ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός*. Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος*…Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται τὸ κάθισμα τοῦ Τριῳδίου τοῦ κυρ Ἰωσὴφ· *Παραβάσεως καρπῷ*…Δόξα, τὸ κάθισμα τοῦ κυρ Θεοδώρου· *Κύριε κατεύθυνον ἡμᾶς*…Καὶ νῦν, τὸ θεοτοκίον· *Ἀρχὴ σωτηρίας*…Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν*. Καὶ ἀναγινώσκει τὸ Ε' κά-

θισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος…* Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται τὸ κάθισμα τῆς ἑορτῆς· *Ο μέγας Στρατηγός…*Δόξα…Καὶ νῦν· *τὸ αὐτὸ...* Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ Στ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καὶ ψάλλεται τὸ κάθισμα τῆς ἑορτῆς· *Σήμερον ἅπασα…*Δόξα…Καὶ νῦν· *τὸ αὐτὸ...*Εἶτα ὁ πολυέλεος· μεθ' ὃν κάθισμα τῆς ἑορτῆς· *Γαβριὴλ ἐξ οὐρανοῦ…*Δόξα· *τὸ αὐτὸ...*Καὶ νῦν…τὸ ἕτερον· *Ἀπεστάλη Γαβριήλ…*Οἱ ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου. Τὸ προκείμενον τῆς ἑορτῆς· *Εὐαγγελίζεσθαι ἡμέραν ἐξ ἡμέρας…*Στίχος· *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.* Τό· *Πᾶσα πνοή…*Εὐαγγέλιον τῆς ἑορτῆς· *Ἀναστάσσα Μαριάμ…*Ὁ ν' χῦμα. Δόξα· *Ταῖς τῆς Θεοτόκου…*Καὶ νῦν· *τὸ αὐτό…*Εἰς τὸν στίχον, τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Εὐαγγελίζεται ὁ Γαβριὴλ…*

**Εἶτα οἱ κανόνες·** τῆς ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς ιδ' τροπάρια· Λέγομεν δὲ τοὺς εἱρμοὺς ἐκ δευτέρου, τὰ δὲ τροπάρια εἰς ιβ' καὶ μεθ' ἕκαστην ᾠδὴν αὖθις τὸν εἱρμὸν αὐτῆς ὡς καταβασίαν. Οὐ λέγομεν δὲ στίχους ἐκ τῆς στιχολογίας, ἀλλὰ τοὺς μὲν εἱρμοὺς ἄνευ τινὸς στίχου, τὰ δὲ τροπάρια μετὰ τοῦ στίχου· *Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*, εἰς δὲ τὰ δύο τελευταῖα τὸ· *Δόξα…*καὶ τὸ· *Καὶ νῦν…*Τὰ δὲ τριῴδια τῆς ἡμέρας καταλιμπάνονται. Ἀπὸ γ' ᾠδῆς, κάθισμα τῆς ἑορτῆς· *Ὁ Λόγος τοῦ Θεοῦ…* Δόξα…Καὶ νῦν· *τὸ αὐτό...*Ἀφ' ἕκτης, χῦμα τὸ κοντάκιον· *Τῇ Ὑπερμάχῳ…* καὶ ὁ οἶκος· *Ἄγγελος πρωτοστάτης…*Ἡ τιμιωτέρα οὐ στιχολογεῖται, ἀλλὰ ψάλλεται μόνη ἡ θ' ᾠδὴ τὰ ἑορτῆς εἰς ιδ' λέγομεν δὲ καὶ πρὸ τοῦ εἱρμοῦ καὶ πρὸ ἑκάστου τροπαρίου τὸ μεγαλυνάριον· *Εὐαγγελίζου γῆ χαρὰν μεγάλην…*εἰς δὲ τὰ δύο τελευταῖα τροπάρια πρὸ τοῦ μεγαλυναρίου λέγομεν τὸ· *Δόξα…*καὶ τὸ· *Καὶ νῦν…*ὡς ἔθος. Εἶτα ἡ καταβασία· *Εὐαγγελίζου γῆ χαράν…Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ…*

**Εὐθὺς τὰ ἐξαποστειλάρια** τῆς ἑορτῆς· *Ἀγγελικῶν δυνάμεων*…καὶ τὸ ἕτερον· *Χαῖρε κατάρας λύτρωσις*…Εἲς τοὺς αἴνους, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' προσόμοια τῆς ἑορτῆς· *Τῶν οὐρανίων ἁψίδων*…*Ὁ Γαβριὴλ τῇ Παρθένῳ*…*Ὁ συναΐδιος λόγος*…δευτεροῦντες τὸ α'. Δόξα… Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον*…Εὐθύς, χῦμα τό· *Σοι δόξα πρέπει*...καὶ ἡ μικρὰ δοξολογία. Ὁ δὲ ἱερεὺς τὸ· *Πληρώσωμεν τὴν δέησιν ἡμῶν*…Εἰς τὸ στίχον ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας (τοῦ Τριῳδίου)· *Θαυμαστὸν ὅπλον*…ἐκ β', καὶ τὸ μαρτυρικὸν· *Εὐλογημένος ὁ στρατός*…Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Εὐφραινέσθωσαν οἱ οὐρανοί*…Εἶτα τὸ· *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*…*Τρισάγιον*… καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον*…ἐκ γ', καὶ ἡ ἐκτενής. Μεθ' ἣν λέγει ὁ ἱερεὺς· *Σοφία, Ὁ ὢν εὐλογητός*…ὁ προεστὼς τὸ· *Ἐπουράνιε βασιλεῦ*…καὶ γίνονται αἱ μεγάλαι μετάνοιαι μόνον. Μετ' αὐτὰς δὲ εὐθὺς τὸ· *Δεῦτε προσκυνήσωμεν*…ἐκ γ', καὶ συνάπτομεν τὴν α' ὥραν καὶ μετ' αὐτὴν ἀπόλυσις. Εἶτα δίδοται τὸ ἅγιον ἔλαιον, ψαλλομένων ἰδιομέλων τῆς ἑορτῆς, καὶ εἶτα τελεία ἀπόλυσις.

## Ἐν ταῖς ὥραις

Ἐν ταῖς ὥραις στιχολογοῦμεν τὰ καθίσματα αὐτῶν, ἤτοι: τὸ Ζ' κάθισμα ἐν τῇ γ' ὥρᾳ, τὸ Η' κάθισμα ἐν τῇ ϛ' ὥρᾳ καὶ τὸ Θ' κάθισμα ἐν τῇ θ' ὥρᾳ. Λέγομεν δὲ· Δόξα…τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον*…Καὶ νῦν, τὸ θεοτοκίον τῆς ὥρας, εἰς δὲ τὸ τρισάγιον ἑκάστης τὸ κοντάκιον· *Τῇ Ὑπερμάχῳ*…ποιοῦμεν δὲ ἐν ἑκάστῃ μετὰ τὸ· *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς*…τὰς γ' μεγάλας μετανοίας μόνον. Χῦμα δὲ λέγομεν τὸ· *Τὰ διαβήματά μου*…ἐν τῇ α' ὥρᾳ.

Τῇ δὲ κε' μηνὸς περὶ ὥραν τρίτην τῆς ἡμέρας σημαίνει, καὶ συναχθέντες ἐν τῷ ναῷ, λέγομεν τὴν τριθέκτην, ἐν ᾗ ἀναγινώσκομεν καὶ τὸ τροπάριον τῆς Προφητείας· *Ὁ πλάσας κατὰ μόνας*…καὶ τὴν Προφη-

τείαν τοῦ Τριῳδίου· *Ἐπιλάμψει ὁ Θεὸς τῇ ἡμέρᾳ*...(Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα. Κεφ'. δ' 2-6, ε' 1-7).

Περὶ δὲ ὥραν θ′ τῆς ἡμέρας, σημαίνει καὶ συναχθέντες λέγομεν ὁμοίως τὴν θ′ ὥραν μετὰ δὲ τὰς γ' μεγάλας μετανοίας αὐτῆς, ἀναγινώσκομεν χῦμα καὶ ἄνευ μετανοιῶν τοὺς μακαρισμούς. Τὸ· *Ἄνες ἄφες... Πάτερ ἡμῶν...Ὅτι σοῦ ἐστιν*...καὶ τὸ κοντάκιον τῆς ἑορτῆς· *Τῇ Ὑπερμάχῳ*...Τὸ· *Κύριε ἐλέησον* μ'. *Ὁ ἐν παντὶ καιρῷ*...καὶ αἱ γ' μεγάλαι μετάνοιαι. Εἶτα τρισάγιον, *Κύριε ἐλέησον* ιβ', καὶ αἱ εὐχαί· *Παναγία Τριάς...* καὶ· *Δεσπότα Κύριε Ἰησοῦ Χριστέ*...καὶ γίνεται ἀπόλυσις μικρά. Εὐθὺς δὲ ἀρχόμεθα τοῦ ἑσπερινοῦ μετὰ τῆς λειτουργίας τῆς ἑορτῆς, ἄνευ στιχολογίας, οὕτω:

## Ἐν τῷ ἑσπερινῷ

Μετὰ τὴν ἀνωτέρω μικρὰν ἀπόλυσιν τῶν ὡρῶν, λαμβάνει καιρὸν ὁ ἱερεὺς καὶ ὁ διάκονος καὶ ἐνδύονται τὰς στολὰς αὐτῶν. Ἐξελθὼν δὲ ὁ διάκονος ἐκφωνεῖ· *Εὐλόγησον δεσπότα*...καὶ ὁ ἱερεύς· *Εὐλογημένη ἡ βασιλεία*...Ὁ δὲ προεστὼς τό· *Δεῦτε προσκυνήσωμεν*...ἐκ γ' καὶ ἀναγινώσκει τὸν προοιμιακὸν ψαλμόν, μεθ′ ὃν συναπτὴ μεγάλη. Στιχολογία δὲ οὐ γίνεται, ἀλλ'εὐθὺς ψάλλομεν τό· *Κύριε ἐκέκραξα*...ἐν ᾧ ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας δὶς (ἄνευ μαρτυρικοῦ)· *Τὴν πνευματικὴν Νηστείαν νηστεύσωμεν*...εἶτα τὰ γ' προσόμοια τοῦ Τριῳδίου· *Τίνι ὡμοιώθης ταλαίπωρε...Ἔχων ἀγαθότητος πέλαγος... Ὁ ἀγαγὼν καὶ νῦν ἡμᾶς Θεός*...τὰ τῆς ἑορτῆς ἰδιόμελα γ'· *Τῷ ἕκτῳ μηνὶ ἀπεστάλη...Γλῶσσαν ἣν οὐκ ἔγνω...Ἰδοῦ ἡ ἀνάκλησις*...δευτεροῦντες τὸ α', καὶ εἶτα τοῦ ἀρχαγγέλου προσόμοια γ'· *Γαβριὴλ ὁ μέγιστος ὁ νοῦς... Τὸ μέγα μυστήριον τὸ πρίν...Φωτὸς ὢν ἀνάπλεως ἀεί*...Λέγομεν δὲ εἰς τὰ δύο τελευταῖα προσόμοια τοῦ ἀρχαγγέλου καὶ τοὺς στίχους τοῦσδε: **α'**. *Εὐλογεῖ ἡ ψυχή μου τὸν Κύριον*...καὶ **β'**. *Ὁ ποίων τοὺς ἀγγέλους αὐτοῦ πνεύματα*...Εἶτα· Δόξα...Καὶ νῦν...τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Ἀπεστάλη ἐξ οὐρανοῦ*...Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Τὸ· *Φῶς ἱλαρόν...*

εἶτα τά τοῦ Τριῳδίου ἀναγνώσματα· **α'**. *Ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδάμ…* (Γενέσεως τὸ Ἀνάγνωσμα. Κεφ'. γ' 21-24, δ' 1-7), **β'**. *Κύριος ὑπερηφάνοις ἀντιτάσσεται…*(Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφ'. γ' 34-35, δ' 1-22), καὶ τὰ δύο τῆς ἑορτῆς· **α'**. *Εἰσῆλθε Μώσης…*(Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα. Κεφ'. γ' 2), **β'**. *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ…*(Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφ'. η' 22). Μεθ' ἅ, εὐθὺς ἡ μικρὰ συναπτή. Καὶ ψάλλομεν τὸν Τρισάγιον ὕμνον. Εἶτα προκείμενον τοῦ ἀποστόλου, ἀπόστολος, ἀλληλουϊάριον καὶ εὐαγγέλιον τῆς ἑορτῆς, ἤτοι: Ἀποστολος· *Ὅ τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι…*(Ἑβρ. Κεφ'. β' 11-18), ὁ ζήτει τῇ κε' Μαρτίου, καὶ Εὐαγγέλιον· *Συνέλαβεν Ἐλισάβεν ἡ γυνὴ Ζαχαρίου…*(Λουκ. Κεφ'. 1 24-38), ὁ ζήτει τῇ κε' Μαρτίου. Καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου. Εἰς τὸ ἐξαιρέτως τὸ· *Εὐαγγελίζου γῆ χαρὰν μεγάλην…Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ…*Κοινωνικὸν τὸ· *Ἐξελέξατο Κύριος τὴν Σιών… Εἴδομεν τὸ φῶς…Πληρωθήτω…Εἴη τὸ ὄνομα Κυρίου…*ἐκ γ', Δόξα…Καὶ νῦν…οἱ δύο ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον…Ὑψώσω σὲ ὁ Θεός μου…*καὶ ἡ ἀπόλυσις.

Ἐν δὲ τὴν τράπεζαν, ἐσθίομεν γὰρ ὀψάριον καὶ πίνομεν οἶνον εἰς δόξαν τῆς ὑπεραγίας Θεοτόκου.